# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

**15**

**1921**

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

NEOΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

*ΤΟΜΟΣ ΙΕ'.—31 Μαρτίου 1921.—ΤΕΥΧΟΣ Α'.*

# ΧΟΥΡΜΟΥΖΙΟΥ ΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΟΥ

## ΣΥΝΟΨΙΣ ΤΩΝ ΠΑΛΑΙ ΕΠΙΣΗΜΩΝ ΤΗΣ ΕΩΑΣ ΓΥΜΝΑΣΙΩΝ

Ἐν τῷ ὑπ' ἀριθμὸν 229 χειρογράφῳ τῆς μονῆς τοῦ ἁγίου Παντελεήμονος ἐν ἁγίῳ Ὄρει ἀπὸ φύλλου 401—414 εὑρίσκομεν ἔργον ὑπὸ τὴν ἐπιγραφὴν «Τοῦ τιμιωτάτου καὶ λογιωτάτου κυρίου Χουρμουζίου τοῦ Κωνσταντινοπολίτου σύνοψις τῶν πάλαι ἐπισημοτέρων τῆς Ἑῴας γυμνασίων.

Τῷ φίλων μοι ἀρίστῳ κυρίῳ Ἀθανασίῳ Σκιαδᾷ τῷ Κεφαλληναίῳ». Τοῦ ἔργου τούτου ἀντίγραφον ἄνευ δυστυχῶς εἰσαγωγῆς εὑρίσκομεν ἐν τῷ ὑπ' ἀριθμὸν 136 καταλοίπῳ τοῦ Σπ. Λάμπρου[1], ὅστις ὡς δύναταί τις νὰ εἰκάσῃ ἐκ τῶν ἐν τῇ πρώτῃ, δευτέρᾳ καὶ τρίτῃ σελίδι γενομένων διορθώσεων προὐτίθετο νὰ ἐκδώσῃ αὐτὸ ἐν τῷ Νέῳ Ἑλληνομνήμονι.

Ἀναμφιβόλως ὁ τιμιώτατος καὶ λογιώτατος κύριος Χουρμούζιος ὁ Κωνσταντινουπολίτης, ὁ συγγραφεὺς τοῦ παρόντος ἔργου, εἶνε ὁ ἀδελφὸς τοῦ Ἀντωνίου Βυζαντίου τοῦ χρηματίσαντος διδασκάλου ἐν τῇ πατριαρχικῇ σχολῇ Κωνσταντινουπόλεως καὶ συγγράψαντος τὴν πολλάκις τύποις ἐκδοθεῖσαν Χρηστοήθειαν. Ὁ Ἀντώνιος οὗτος ἤκμασε περὶ τὰ τέλη τοῦ δεκάτου ἑβδόμου καὶ τὰς ἀρχὰς τοῦ δεκάτου ὀγδόου αἰῶνος, ἀτόπως δὲ ὁ Κρουμβάχερ[2] καὶ ὁ Νικηφόρος Καλογερᾶς[3]

1 Ν. Ἑλλην. τομ. 14 σελ. 236.

2 Πρβλ. Ἱστορ. τῆς βυζ. λογ. μεταφρ. Σωτηριάδου τομ. Β' σελ. 115 ἑ. καὶ σελ. 385.

3. Ὁ Νικηφ. Καλογερᾶς κατὰ τὸ 1881 ἐξέδοτο τὴν Χρηστοήθειαν τοῦ Ἀντωνίου ὑπὸ τὰ στοιχεῖα Ν. Κ. εἰς νεοελληνικὴν μετάφρασιν προτάξας αὐτῆς ἀτελέστατα σχόλια, ἐν οἷς, πρὸς τοῖς ἄλλοις ἀτόποις, συνταυτίζει τὸν συγγραφέα τῆς Χρηστοηθείας Ἀντώνιον τὸν Βυζάντιον πρὸς τὸν Ἀντώνιον Μέλισσα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κατατάσσουσι τοῦτον ἐν τοῖς λογίοις τοῦ ἑνδεκάτου αἰῶνος καὶ συνταυτίζουσι πρὸς τὸν Ἀντώνιον Μέλισσα[1]. Τοὐναντίον ὀρθῶς ὁ Μ. Γεδεὼν διακρίνει τὸν Ἀντώνιον Βυζάντιον τοῦ Ἀντωνίου τοῦ Μέλισσα[2], νομίζει ὅμως ἀτόπως ὅτι ἐπεκλήθη οὕτω διὰ τὸ ὁμώνυμον βιβλίον ἀποφθεγμάτων».[3]

Τοῦ Ἀντωνίου τούτου τοῦ Βυζαντίου ἀδελφὸς καὶ διάδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ

1 Τὸ ἔργον τοῦ Ἀντωνίου τοῦ Μέλισσα, τοῦ κληθέντος οὕτω οὐχὶ βεβαίως ἐκ τοῦ ἔργου αὐτοῦ, ἐξεδόθη ἐν τῇ Πατρ. Migne τομ. 136 σελ. 65—1244 πρβλ. συμπληρωματικὰ ἐν Δελτίῳ ἱστορ. καὶ ἐθν. ἑταιρείας τομ. 2 (1855—1889) σελ. 661—666 ὑπὸ Ι. Σακκελίωνος ἐπὶ τῇ βάσει τοῦ κωδ. ἀθην. 32. Περὶ τοῦ Ἀντωνίου Μέλισσα καὶ τῆς σχέσεως αὐτοῦ πρὸς τὰ παράλληλα τοῦ Δαμασκηνοῦ πρβλ. Κ. Δυοβουνιώτου Ἰωάννης ὁ Δαμασκηνὸς σελ. 175 ἑ. ἔνθα καὶ φιλολογία. Περὶ τῶν κωδίκων τῶν περιεχόντων τὸ ἔργον τοῦ Ἀντωνίου πρβλ. ἰδίᾳ Wachsmuth Studien zu dem griech. Florilegien σ. 101.

2 Μ. Γεδεών, Χρονικὰ τῆς πατριαρ. Ἀκαδημίας ἐν Ἐκκλ. Ἀληθ. ἔτ. Γ' (1883) τεύχ. ΚΘ' σελ. 453. Ἀτόπως ὁ Γεδεὼν νομίζει ὅτι ὁ Ἀντώνιος ὁ Βυζάντιος μετήνεγκε τὴν Χρηστοήθειαν ἐκ τοῦ λατινικοῦ εἰς τὸ ἑλληνικόν, γνώμην ἣν πάντες σχεδὸν οἱ περὶ τὸν Βυζάντιον ἀσχοληθέντες ἔχουσιν, σφαλερῶς δ' ἀναγράφει τὰ τῶν ἐκδόσεων τῆς Χρηστοηθείας, περὶ ὧν καὶ πάντες σχεδὸν οἱ περὶ τὸν Ἀντώνιον τὸν Βυζάντιον ἀσχοληθέντες ἀνακριβῆ ἔχουσι σημειώσει (πρβλ. Παπαδοπούλου Βρετοῦ Ν. Φιλ. τομ. 2 σελ. 136 καὶ 254). Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἡμετέρου Πανεπιστημίου σῴζεται ἡ πρώτη ἔκδοσις τῆς Χρηστοηθείας τοῦ Ἀντωνίου τοῦ Βυζαντίου «Ἤδη ἀκριβῶς διορθωθεῖσα τὸ πρῶτον τύποις ἐξέδοτο αψπή' Ἐνετίῃσι 1788». Ἐκ τοῦ προλόγου τῆς ἐκδόσεως ταύτης γίνεται δῆλον ὅτι ἡ Χρηστοήθεια γραφεῖσα ἀρχικῶς λατινιστὶ μετεφράσθη ὑπό τινος εἰς τὴν ἁπλῆν ἑλληνικὴν καὶ ἐκ ταύτης ὑπὸ τοῦ Ἀντωνίου εἰς τὴν ἀρχαΐζουσαν «Μετήνεκται δ' ὑπό τινος ἐκ τῆς λατινίδος φωνῆς εἰς ἁπλῆν φράσιν. Μετωχετεύσατο δ' αὖθις εἰς τὴν ἑλληνικὴν ὁ ἐλλόγιμος καὶ ἐν σπουδαίοις ἄριστος Ἀντώνιος ὁ Βυζάντιος· ὁ τῆς ἐν Κωνσταντινουπόλει σχολῆς τῶν γραμματικῶν μαθημάτων καθηγητής, ἃ μὲν προσθεὶς ἃ δὲ ἀφελόμενος, τοῦ ἁπλοῦ ἀτελοῦς καὶ ἀκοσμήτου τυγχάνοντος». Ἄξιον σημειώσεως εἶνε ἐνταῦθα ὅτι ὁ Ζαβίρας ἀναφέρει πρώτην ἔκδοσιν τῆς Χρηστοηθείας τῷ 1780 (Ν.Ἑλλ. σελ. 177) καὶ ὁ Σπ. Λάμπρος ἀναφέρει ἐν τῷ κώδικι Add, 8234 τῆς ἐν Λονδίνῳ βιβλιοθήκης τοῦ βρεττανικοῦ μουσείου σημείωσιν, καθ' ἣν ἡ Χρηστοήθεια ἐξεδόθη παρὰ Νικολάῳ Γλυκεῖ Ἐνετίῃσι ̗αψπ'» (Ν. Ἑλλ. τόμ. Β' σελ. 216). Ἡ ἐξέτασις τῶν πολλῶν ἔτι σῳζομένων χειρογράφων τῆς Χρηστοηθείας, ἔν τισι τῶν ὁποίων ὑπάρχουσι καὶ εἰσαγωγαί, θέλει ρίψει ἄπλετον φῶς ἐπὶ τῶν ἀφορώντων τὰ τῆς Χρηστοηθείας.

3 Ὀρθῶς ὁ Κρουμβάχερ παρατηρεῖ ὅτι ὁ Ἀντώνιος δὲν ἐκλήθη Μέλισσα ἐκ τοῦ ἑαυτοῦ ἔργου (ἐν. ἀν σελ. 185).

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χος ἐν τῇ διδασκαλίᾳ ἐγένετο ὁ ἡμέτερος Χουρμούζιος, ὅστις κατὰ τὰς εἰδήσεις τοῦ Προκοπίου διέμεινεν ἐπ' ὀλίγων σπουδάζων ἐν Παταυΐῳ [1] καὶ ἔπειτα διεδέχθη τὸν ἀδελφὸν αὐτοῦ Ἀντώνιον ἐν τῇ πατριαρχικῇ σχολῇ. Τῆς δογματικῆς πανοπλίας τοῦ Εὐθυμίου τοῦ Ζιγαβηνοῦ προτάσσονται στίχοι τοῦ ἡμετέρου Χουρμουζίου εἰς Ἀθανάσιον μητροπολίτην Δρύστρας,[2] ὁ δὲ Γεδεὼν ἀναφέρει ὅτι «τοῦ Χουρμουζίου δύο ἐπιστολαὶ ἰδιόγραφοι πρὸς Ἰωάννην Λέσβιον Τζανῆν σῴζονται παρ' ἐμοί».[3] Ἐκ τοῦ ἡμετέρου ἔργου γίνεται δῆλον ὅτι ὁ Χουρμούζιος κατὰ τὸ 1711 εὑρίσκετο ἐν Παταβίῳ καὶ ἐπομένως ὅτι κατὰ τὰ τέλη τοῦ 17ου αἰῶνος θὰ εἶχε γεννηθῇ. Ἐπειδὴ δὲ ἀπέθανε κατὰ τὴν μαρτυρίαν τοῦ Προκοπίου νέος «εἴ γε μὴ ἀώρῳ θανάτῳ ἀπετμήθη τὸν βίον»[4] πάντως ὅμως μετὰ τὸν Ἀντώνιον, τὸν ἀποθανόντα[5] κατὰ τὸ 1715, μετ' ἀσφαλείας δυνάμεθα νὰ δεχθῶμεν ὅτι ὁ Χουρμούζιος ἀπέθανε κατὰ τὰς ἀρχὰς τοῦ δεκάτου ὀγδόου αἰῶνος μετὰ τὸν ἀδελφόν του Ἀντώνιον χρηματίσας ἐπὶ βραχὺν χρόνον διδάσκαλος τῆς πατριαρχικῆς σχολῆς. Ἐκ τοῦ ἡμετέρου ἔργου γίνεται ἔτι δῆλον ὅτι ὁ Χουρμούζιος προὐτίθετο νὰ γράψῃ «περὶ ἱερῶν συγγραφέων».[6]

Ταῦτα ἐν γενικωτάταις γραμμαῖς περὶ τοῦ Χουρμουζίου τοῦ συγγραφέως τοῦ κατωτέρου ἐκδιδομένου ἔργου. Περὶ δὲ τοῦ Ἀθανασίου Σκιαδᾶ, πρὸς ὃν ἀπευθύνεται τὸ ἔργον, λαμβάνομεν εἰδήσεις ἐκ τῶν περὶ τὴν νεωτέραν ἑλληνικὴν φιλολο-

1 Πρβλ. Φαβρικ. ΙΑ' σελ. 535 καὶ 543.

2 Ζαβίρα Ν. Ἑλλ. σελ. 547.

3 Ἐν ἀν. σελ. 454 Πρβλ. ἐν Ν. Ἑλλην. τόμ. Δ' σελ. 223 ἔνθα περὶ τῆς σφραγῖδος τοῦ λογοθέτου Χουρμούζη καὶ σελ. 212 ἔνθα περὶ ἐπιστολῆς Χουρμούζη λογοθέτου.

4 Φαβρ. τομ. ΙΑ' σελ. 435.

5 Κατὰ τὸν Γεδεὼν ὁ Ἀντώνιος ἀπέθανε πρὸ τοῦ 1717 ἢ ἴσως πρὸ τοῦ 1715 (ἐν. ἀν. σελ. 553).

6 Πρβλ. τὴν ἐπιστολὴν ἐν ἀρχῇ, καὶ κατωτέρω δὲ λέγει «Διὰ μακρῶν περὶ τῶν ἀκμασάντων ἐν τῇ Ἑῴᾳ συγγραφέων ἐν ἄλλοις σὺν θεῷ διαλεξόμεθα.»

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γίαν ἀσχοληθέντων καὶ δὴ τοῦ Ζαβίρα [1] τοῦ Σάθα [2], καὶ τοῦ Μαζαράκη. [3]

Κ. Ι. Δ.

***Τοῦ τιμιωτάτου καὶ λογιωτάτου κυρίου Χουρμουζίου τοῦ Κωνσταντινοπολίτου σύνοψις τῶν πάλαι ἐπισημοτέρων τῆς ἑῴας Γυμνασίων. Τῷ φίλων μοι ἀρίστῳ κυρίῳ Ἀθανασίῳ Σκιαδᾷ τῷ Κεφαλληναίῳ.***

Ἤδη τῶν ὁδοιπορικῶν ἀνεθεῖσι καμάτων κἀπὶ τὴν ᾀδομένην ἐπὶ σοφίᾳ τῶν Παταβίνων πόλιν τὰς διατριβὰς ποιουμένοις καὶ σφᾶς ἀναλαμβάνουσι φίλτρου ἀνάμεστος ἀκραιφνοῦς ἐπιστολὴ ἐγκεχείρισται. ἣ μετὰ τῆς ἡδονῆς ἀτεχνῶς οὐ μέτριον ἡμῖν ἄλγος προσετρίψατο, τέρψασα δηλονότι διὰ τὴν τῶν πάλαι ηὐγμένων τε καὶ ἐλπισθέντων ἀπόβασιν, ἀνιάσασα δὲ τῷ μὴ πρὸς ἀξίαν ἐν τῷ παρόντι οἵους τε γενέσθαι ἐξυπηρετῆσαι φιλικῷ καθήκοντι, ἄλλοις τέως προὐργιαιτέροις προσανέχοντας. Καίτοι οὖν διακείμενοι οὑτωσίν, ἄλλως τε δυσχερεστέρου ὄντος, οὗ ἡμᾶς ἠξίωσας, καὶ μακροτέρας δεομένου φροντίδος, ὅπως μὴ μέντοι ὄκνῳ καὶ ἀφραδίῃσι νόσιο εἴκειν καθ' Ὅμηρον ὑποληφθείημεν, ἀπαραμύθητα παντάπασι τὰ τῆς αἰτήσεως παριδεῖν οὐκ ἠνεσχόμεθα. Ἀνθ' ὅτου ἀφοσιώσεώς τινος ἕνεκα, ἐξ ὧν ἡ μνήμη ἀνεξίτηλα διασώσασα ὑπέβαλε, συνοπτικῶς λίαν, τό γε νῦν ἔχον, περὶ τῶν ἐπισημοτέρων ἑῴων φροντιστηρίων ἐν τῷδε πραγματευσάμενοι, τῷ φιλοπονήματι ἐν τῷ περὶ ἱερῶν συγγραφέων τελεώτερον, θεοῦ ξυνεφαπτομένου, διαλήψασθαι πειρασόμεθα. Ἔρρωσθε.

Ἐν Παταβίῳ αωια

Θαργηλιῶνος μεσοῦντος.

***Ὅτι τέτταρα ἦν τὰ ἐπισημότερα τῆς Ἑῴας γυμνάσια.***

Τῶν θύραθεν μαθημάτων ῥητορικῇ μάλιστα φιλοσοφίᾳ, ἀστρολογίᾳ τε καὶ γεωμετρίᾳ παῖδες Ἑλλήνων ἔχαιρον, οὐ μὴν δὲ καὶ ἰατρικῆς ὀλιγώρως εἶχον, τὴν ἀναγκαιότητα τῆς τέχνης ἐν τῷ βίῳ μάλα εἰδότες χρησιμεύουσαν. Ἔνθεν τοι καὶ γυμνάσια τούτων δημοσίᾳ προὐβέβλητο, καὶ οἱ ἐντριβεῖς τῶν καθηγητῶν μεγάλαις ἐπιδόσεσι μεταπεμπόμενοι τὴν νεολαίαν ἐξεπαίδευον, οἳ ἀτέλειαν παντελῆ καὶ ἀλειτουργησίαν ξυγχωρηθέντες οὐκ εὐάριθμοι ξυνέρρεον, ἄλλος ἄλ-

1 Ν. Ἑλλ. σελ. 173 ἑ.

2 Νεοελ. φιλ. σελ. 462 ἑ.

3 Βιογρ. τῶν ἐπισκ. Κεφαλ. σελ. 154 πρβλ. καὶ 631 καὶ 650.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λην ἐπιστήμην ἐνστησάμενοι. Τέτταρα μέντοι ταῦτα μικρῷ προὔχει τῶν ἄλλων καὶ δι' αἰδοῦς τοῖς πᾶσιν ἤγετο, τὸ ἐν Καισαρείᾳ δηλονότι τῆς Παλαιστίνης, Ἀλεξανδρείᾳ, Κωνσταντινουπόλει καὶ τὸ κορυφαῖον πάντων τὸ ἐν Ἀθήναις· ἅπερ ὅσῳ λόγων διδασκαλίᾳ καὶ φιλοσοφίᾳ τῶν λοιπῶν ὑπερίδρυτο, τοσούτῳ δήπου κἂν τοῖς φοιτῶσι διέφερε, κρείττονας σχεδὸν ἀριθμοῦ οὖσιν. Οἱονεὶ γὰρ βασιλὶς ἐτύγχανεν οὖσα πρὸς τ' ἄλλα ἡ κλεινὴ αὕτη τετρακτὺς τῶν φροντιστηρίων, τοῖς λοιποῖς τὰ χρησιμεύοντα βραβεύουσα, καὶ δελφικὸς τρίπους τοῖς χρωμένοις προσφόρως χρησμοδοτουμένη· ἣν Ἑλικῶνά τις καὶ Μουσῶν θρόνον καλῶς ὀνομάσειεν, ὅταν ἀπίδῃ, λέγω, πρὸς τοὺς Πλάτωνας ἐκείνους καὶ Ἀριστοτέλεις, τὰ τῆς φύσεως ἐξακριβώσαντας ὄργια, ὅτε Δημοσθένεις ἐκείνους καὶ Κικέρωνας ἐνωτίσαιτο τῇ δυνάμει τοῦ λόγου, κατὰ τὸν κορυφαῖον ἐν αὐλαῖς Τιμόθεον. στρατὸν ὁπλίζοντας, τοῖς πολεμίοις συμβάλλοντας καὶ βασιλέων ὀφρῦν αὐτῇ τιάρᾳ καταγωνιζομένους. Ἐῶ δὲ τοὺς ποιμενάρχας τῆς ἐκκλησίας , οἳ τῷ θώρακι καὶ τῇ ἀσπίδι τῆς φιλοσοφίας τὰς πολυπλόκους τῶν ἀντιξόων ὕδρας ἴσας ὑσμίνῃ, τὸ τοῦ λόγου, κατέστησαν. Ταύτης γὰρ τῆς παλαίστρας ἐτύγχανον, ὅσοι σοφίας περιουσίᾳ, ὑπὲρ εὐσεβείας σφᾶς ἀντεπεξαγαγόντες τὸν πάντα αἰῶνα καταπεπλήχασιν. Οὐδὲ πρότερός τις σοφοῖς ἐγίγνετο ἐναρίθμιος, μὴ τὴν τετράδα ταυτηνὶ τῶν γυμνασίων παραμειψάμενος, ὧν τῇ διαίτῃ τὸ ἐπώνυμον τῆς σοφίας προσηκόντως ἀπεφέρετο.

### *Ὁποίᾳ τάξει χρῆσθαι ἔδει τοὺς νέους ἐν τοῖς ῥηθεῖσι γυμνασίοις.*

Οὐκ ἐνῆν δ' ἁπλῶς βαδίζειν οἷς ἂν βούλοιτο ἕκαστος γυμνασίοις, λόγῳ δέ τινι καὶ τάξει χρηστέον ἐδόκει. Διόπερ οἱ πόρρω παιδείας ἐλάσαι φιλοτιμούμενοι ἀποχρώντως ἤδη ἐν τοῖς κατὰ γραμματικὴν οἴκοι ἐγγυμνασθέντες παιδεύμασι, καὶ πρὸς ῥητορικήν τε καὶ φιλοσοφίαν σφᾶς συσκευάσαντες, πρῶτον ἀπὸ τῆς πατρίδος τὴν Καισάρειαν τῆς Παλαιστίνης ἐποιοῦντο κατάλυμα, ἐκεῖσε δῆλον ὅτι τὴν τῶν λόγων βαλβῖδα ἀναρρήξαντες, ἣ δῆτα τοὺς καταλύοντας παρ' αὐτῇ τὸν ῥήτορα λόγον ἐξ ἀτελείας ἐκπαιδεύουσα, ἅμα δὲ καὶ φιλοσόφων, ἄκρῳ φασί, τῷ δακτύλῳ λόγων μεταδιδοῦσα, τῇ Ἀλεξανδρέων παρέπεμπε, ἥπερ οἱονεί τινι φιλοσοφίας γνώμονι τὸ τῆς ἑκάστου φύσεως ἐπικλινὲς κατοπτεύσασα, τῷ μὲν τὴν περὶ τὰ με-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

τέωρα προὐθέσθαι ἐπιστήμην ὑπετίθετο, τῷ δὲ προσφῦναι παρῄνει τῷ Εὐκλείδῃ, καὶ τὸν μὲν ἐνησχόλει τῇ ποιήσει, τὸν δ' Ἱπποκράτῃ καὶ Γαληνῷ προσεκτέον εἶναι παρώτρυνε καὶ συλλήβδην πρὸς ὃ ἕκαστος ἐπεφύκει, τοῦτο δήπου πονητέον ἐδόκει βέλτιον, μὴ τῆς ἱπποσύνης, καὶ τῆς ᾠδῆς ἁμάρτωσι, φησὶν ἡ ποίησις. Τῇ τῆς φύσεως οὖν ῥοπῇ ἕκαστος χρησάμενοι, κἀκείνοις ἐνασκηθέντες τοῖς μαθήμασιν, οἷς παρὰ τῶν παιδευόντων ἐπεμερίσθησαν, τῇ Κωνσταντίνου ἀνθούσῃ ἀκμὴν ἐπὶ σοφίᾳ, ἀμέσως ἐπεδήμουν, τελειοτέρας ἕνεκα παιδεύσεως, ἧς μετεσχηκότες, ἐπὶ τὴν βασιλίδα σοφίας ἁπάσης, ὥσπερ τι κέντρον ἐπείγοντο, τὴν κλεινήν, φημι, τῶν Ἀθηναίων πόλιν, ᾗπερ ὁμιλήσαντες, καὶ τῶν ὧν ἐγλίχετο ἕκαστος ἀπολαύσαντες, τῶν σφετέρων πόνων εὐτυχὲς ἐποιοῦντο πέρας. Οὐ παντὸς μέντοι ἦν ὁ εἰς Ἀθήνας πλοῦς, ὥσπερ οὐδ' ἐν Κορίνθῳ φησὶν ἡ παροιμία, ἀλλ' ὧν τὸ συνειδὸς πρὸς τὸ ἐντελὲς σχεδὸν γενέσθαι ὑπετίθετο. μαρτυρεῖ δὲ τοῖς λεγομένοις ἡ τῶν θεολογούντων ἀκρότης, Γρηγόριος, καὶ ἡ σάλπιγξ τῆς ἐκκλησίας, Βασίλειος, οἳ τὴν τετράδα τῶν γυμνασίων παραμειψάμενοι, καὶ καθηγεμόνες ἀμφιδέξιοι ἀναπεφηνότες, φιλοσοφίας ἅμα καὶ θεολογίας κλέος ἠνέγκαντο.

### *Περὶ τῶν τότε αἱρέσεων τῆς φιλοσοφίας.*

Οὐ παντάπασι δ' οἶμαι ἀπὸ σκοποῦ ἔσεσθαι, εἰ καὶ τὰς αἱρέσεις τῶν κατ' ἐκεῖνο καιροῦ φιλοσοφησάντων ἐν βραχεῖ ὑπομνησαίμεθα. Τῶν πυθαγορείων τοίνυν, τῶν ἀπὸ τῆς στοᾶς, καὶ τῶν ἐπικουρείων αἱ αἱρέσεις οὐκ ἦν μὲν εἰς τὸ πρὶν ἀνθοῦσαι. Λείψανα μέντοι τῆς ἐκείνων φιλοσοφίας οὐ μᾶλλον ἀποδεκτέα, ἢ ἐπίμωμα περιεφέρετο. Πλάτων μέντοι, καὶ Ἀριστοτέλης σεβάσμιοι ἐτύγχανον τοῖς πᾶσι, καὶ διὰ πλείστης ὅσης τιμῆς ἤγοντο, οἳ τῷ ὑψηλῷ καὶ μονονουχὶ θείῳ τῆς σφῶν φιλοσοφίας ἐραστὰς πάνυ τοι πολλοὺς ξυνεφείλκοντο. Τοῖς μὲν οὖν αὐτῶν ἐκ τῆς τῶν μακαρίων ἐκείνων ἀνδρῶν ὁμιλίας, εἰς τὴν πρώτην καὶ ἀληθῆ ἀνάγεσθαι φιλοσοφίαν, τοῖς δὲ κακῶς παρ' αὐτοῖς καταλύουσιν εἰς τὸν ἀθέμιτον τῶν μάγων πλάνον ἀθλίως ἐκκυλίεσθαι ξυνέβαινεν· ᾗ καὶ Ἰουλιανὸς ὁ ἀποστάτης νέον ἤδη ἄγων ἔτος ὑποκλαπείς, καὶ ἐμπλήκτως αὐτῇ προσενεχθείς, μετὰ τὴν τῆς χλαμύδος ἀναβολὴν τὸ τοῦ Χριστοῦ λήϊον δυσσεβῶς ἐπιφλέξας προτεθύμηται. Ὅσοι δ' εἶχον δευσοποιῶς τὰ πρὸς εὐσέβειαν, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀνέκκλιτος αὐτοῖς ὁ θεῖος φόβος ἐντέτηκεν, χαίρειν εἰπόντες τῷ Πυθαγόρου λήρῳ καὶ τὸν Ἐπίκουρον αὐτοῖς ἀτόμοις παρωσάμενοι, Πλάτωνι καὶ Ἀριστοτέλει τὸν νοῦν προσεῖχον, καὶ τῇ ἐπιστημονικῇ ἀνάγκῃ, οὐ μόνον σφᾶς, ἀλλὰ τοὺς πλείω τῶν ἀκουόντων πρὸς παραδοχὴν τῆς ἱερᾶς φιλοσοφίας ἐνθέως ἀνέπειθον. Ληρείτων τοίνυν ὅσοι νωθείᾳ φύσεως καὶ ῥαστώνῃ, τῶν θύραθεν ἀποτευξάμενοι μαθημάτων, πολλοὺς αὐτῇ ἀναίδην τοὺς μώμους προσεπιτρίβουσιν, ἀσεβείας μητέρα, καὶ πολλῶν ἄλλων κακῶν ἀρχιτέκτονα τὴν τούτων περίνοιαν προσαγορεύοντες, δέον μᾶλλον ἀποδέχεσθαι καὶ τεθηπέναι, τὴν τοὺς ἀτενεῖς τῶν νόων ἀλέκτῳ τῷ τρόπῳ πρὸς τὸ εὐσεβὲς ὑποκλέπτειν δεξιῶς ἔχουσαν, ἣ οὐκ ἀγενῆ ζωγρείαν οἱ ἡγεμόνες τῆς Ἐκκλησίας τῷ Χριστῷ προσαγηόχασι, καὶ ἀγέρωχον νίκην κατὰ τῶν αἱρετιζόντων ἀνελόμενοι, τοὺς θριάμβους εἰς τὸ τῆς ἀθανασίας καπιτώλιον ἀναγεγράφασι. Καὶ ὅρα μοι ἑῴων τε καὶ ἑσπερίων θεολόγων τὸν θίασον, οἳ διαλεκτικῶς μάλα τὴν ἀλήθειαν ἐξακριβώσαντες, τὸ τῆς πίστεως ἀναμφίλεκτον ἐντεῦθεν παρέσχοντο. Εἰ δέ τις κακῶς, ἢ ἔδει, τῇ θύραθεν ἐγκύψας φιλοσοφίᾳ, ἐν τοῖς περὶ πίστεως νεναυάγηκε (οἷοί εἰσιν ἄρειοι ἐκεῖνοι, καὶ σαβέλλιοι, καὶ τὸ λοιπῶν τῶν ἐξαγίστων στῖφος οὓς ἡ πλατωνικὴ τριὰς τῶν θεῶν δυσσεβῶς ἐκληφθεῖσα, ἀνομοιότητα τῆς θείας φύσεως κατηγορεῖν ἀναπέπεικεν) οὐ παρὰ τοῦτο ἀποστατέον ὅλως τῶν θύραθεν μαθημάτων ἀλλ' ἐσκεμμένως τὸν ἐνόντα νοῦν ἀνιμήσασι, καὶ ἴσα δούλῃ ἐκείνοις πρὸς δέσποιναν τὴν ἡμετέραν χρησαμένοις φιλοσοφίαν, τῆς ἀληθείας ἐπιβόλους γενέσθαι ἥκιστ' ἀμφισβητητέον.

## *Ὁποίᾳ τάξει ἐν τοῖς ἱεροῖς ἐχρῶντο μαθήμασι.*

Τριττὸν εἶδος τῆς ἱερᾶς φιλοσοφίας τηνικαῦτα ἐν ἴσοις τοῖς γυμνασίοις διέπρεπεν, ἃ μετιτέον ἐδόκει τοῖς φιλολόγοις, καὶ μάλισθ' οἷς ἔρως τὸν ἱερὸν μετελθεῖν βίον ἐτύγχανεν, κατήχησις, ἀνάπτυξις τῶν θείων Γραφῶν καὶ ζητημάτων θεολογικῶν μετὰ θεωρημάτων πολλῶν καὶ θαυμασίων διασάφησις. Τῷ μὲν οὖν πρώτῳ τά τῆς πίστεως ἐμυοῦντο οἱ παῖδες, εὐσεβῶν τε παραγγελμάτων καὶ ἐθῶν ἐν περινοίᾳ ἐγίγνοντο, ἁπλούστερον μέντοι καὶ ἐπιπολαιότερον, ἅτε τῆς ἀκριβεστέρας διδασκαλίας οὐ μεῖον βλάβην, ἢ ὠφέλειαν ἐπάγειν φιλούσης, οἷς κατὰ τὸ σκεῦος τῆς ἐκλογῆς γάλα προσοιστέον βέλτιον,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἢ στερροτέρας μεταδοτέον τροφῆς· οὗ καὶ γυμνάσια προὔκειτο δημοσίᾳ καὶ οἷς ἂν εἴη βουλομένοις προῖκα ἐξῆν φοιτᾶν, καὶ τὸν λόγον κατηχεῖσθαι τῆς ἀληθείας οἷον δήπου καὶ τῷ θείῳ Μάρκῳ ἐν Ἀλεξανδρείᾳ διὰ φροντίδος ἐγένετο, καὶ σοφῶν ἀνδρῶν κάτω τοῦ χρόνου γενομένων ἐπιμελείᾳ εἰς πνευματικὴν ἤλασε τελειότητα. Ἤδη δ' ἀρραγεῖς τὰς τῆς πίστεως κρηπῖδας ἐν τοῖς προσληφθεῖσι γυμνασίοις οἱ νέοι καταβαλόντες τοῦ δευτέρου ἥπτοντο μαθήματος ὃ περὶ τὴν ἀνάπτυξιν καὶ σαφήνειαν τῶν θείων ἐνησχολεῖτο Γραφῶν, αἷς χρόνον οὐ μικρὸν ὁμιλήσαντες καὶ οἷον τὴν γραφικὴν μελέτην καὶ διάνοιαν ἐξευμαρίσαντες πρὸς τὸ τρίτον καὶ τελευταῖον σφᾶς μετῆγον γυμνάσιον, ἐν ᾧ ὑψηλοτέρων θεωρημάτων καὶ ζητημάτων ἦν ἀνάπτυξις, περὶ Θεοῦ δηλονότι, θείων ἀποτελεσμάτων, καὶ τῶν λοιπῶν, ὅσα τῷ μέρει ἐκείνῳ συγγενῆ τῆς φιλοσοφίας, ὃ σοφία ἢ θεολογία προσηγόρευται.

### *Διαφορὰ τῆς πάλαι καὶ νῦν θεολογίας.*

Οὐδὲν σχεδὸν τῆς νῦν θεολογίας πρὸς τὴν πάλαι τὸ διάφορον ὑποφαίνεται, καὶ γὰρ τοῖς μὲν πάλαι θεολογοῦσιν, κατὰ τὸν ἐκ Ναζιανζοῦ φωστῆρα, οὐ περὶ ἄλλου τινὸς ὁ λόγος ἐγίγνετο, ἢ δηλονότι περὶ κόσμων ἢ κόσμου, ὕλης, ψυχῆς, περὶ νοῦ, καὶ τῶν νοερῶν φύσεων βελτιώνων τε καὶ χειρόνων, περὶ προνοίας, περὶ τῆς πρώτης τοῦ ἀνθρώπου συστάσεως καὶ ἀναπλάσεως, περὶ τῶν τύπων, ἀληθείας, καὶ διαθηκῶν, περὶ τῆς πρώτης καὶ δευτέρας τοῦ Χριστοῦ παρουσίας, περὶ σαρκώσεως καὶ πάθους καὶ ἀναλύσεως, περὶ ἀναστάσεως, τέλους, κρίσεως καὶ ἀνταποδόσεως, καὶ τὸ κεφάλαιον περὶ τῆς μακαρίας Τριάδος. Ταὐτὰ δὲ καὶ τοῖς νῦν θεολογοῦσι προτείνεται, ἀναπτύσσεται καὶ παραδίδοται· οὐκ ἀσύμφωνος ἄρα τῇ παλαιᾷ ἡ ἐφ' ἡμᾶς θεολογία, εἰ μή τις τὸν τῆς διδασκαλίας τρόπον διαφορὰν ὑποβάλοι, ἅτε τοῖς μὲν πάλαι ἀπολύτῳ, καὶ οἷον συγκεχυμένῳ τινὶ τρόπῳ ἀναπτύσσεσθαι τὰ τῆς θεολογίας παρείληπται, τοῖς δὲ νῦν ὁδῷ καὶ λόγῳ προϊέναι, καὶ ῥᾳδιωτέρᾳ τινὶ μεθόδῳ διευκρινεῖσθαι ἔγνωσται, κἀνταῦθα μὲν κομψότερον τοῖς πάλαι, ἀποδεικτικώτερον δὲ τούτοις, τοῖς νεωτέροις, πεφρόντισται. Καὶ ὅρα μοι τὰ Βασιλείου καὶ Γρηγορίου συγγράμματα καὶ τὰς τῶν λοιπῶν παλαιῶν περὶ Θεοῦ διδασκαλίας καὶ γλαφυρὰς ἑρμηνείας, ἃς θεωρήμασι καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ζητήμασι διατρανοῦν φιλοῦσιν οἱ νεώτεροι. Ὡς οὖν ἔφθημεν εἰρηκότες ἡ τῶν πάλαι καὶ νῦν θεολογία ἐν τῷ τρόπῳ τοῦ διδάσκειν, οὐ τοῖς ἀντικειμένοις τὸ διάφορον ἐκληρώσατο.

### *Ὅτι τρίτον εἶδος αἱρέσεως ἐκ τοῦ τρίτου τῶν μαθημάτων μέρους ἀνέκυψεν.*

Τοῖς περὶ τὸ ὑψηλότερον διατρίβουσι τῆς Θεολογίας, ὃ περὶ Τριάδος δηλονότι πραγματεύεται, καὶ τὴν τῶν θεολόγων ἐπωνυμίαν κληρωσαμένοις, τρίτον εἶδος δυσσεβείας ἀπηντηκὸς φαίνεται, ἅπερ ὁ Ναζιανζηνὸς καλῶς, νόσους ἀποκαλεῖ θεολογίας, ἀθεΐα, ἰουδαϊσμὸς πολυθεΐα. Σαβέλλιος τοίνυν ὁ Λίβυς τἀληθοῦς ἑαυτὸν διασφήλας, καὶ τριωνυμίαν κενὴν ἐν τοῖς θείοις φρυαξάμενος, εἰς ἀθεΐαν παντελῆ ἐκβεβίασται. Τῷ δ' Ἀρείῳ ἐς ἀλλοτρίαν τὸν υἱὸν ἐπισπῶντι φύσιν καὶ τοιαύταις ἐμματαιάζοντι λέσχαις, ἐς ἰουδαϊκὴν ἐκτραχηλισθῆναι πτωχείαν ξυμβέβηκε. Τρίτον δὲ δυσσεβουσσάντων εἶδος ὑπάρξαι μὲν ἀναμφίρρηστον, ἧς τοὺς προστάτας ἀγνοοῦντες, τουτὶ μόνον μετὰ τοῦ Θεολόγου φαμέν, ὅτι ἄναρχα νομίζοντες τὸν υἱὸν καὶ τὸ πνεῦμα εἰς μέθην πολυθεΐας σαφῆ ἐκπεπτώκασι.

### *Περὶ τῶν τότε ὀρθοδόξων καὶ αἱρετικῶν συγγραφέων*

Διὰ μακρῶν περὶ τῶν ἀκμασάντων ἐν τῇ Ἑῴᾳ συγγραφέων ἐ ἄλλοις σὺν Θεῷ διαλεξόμεθα, ἀποχρήσει δ' ἐν τῷ παρόντι μεμνῆσθαι ὧν ὁ θεῖος Ἱερώνυμος. Εἰσὶ τοίνυν ὁ μέγας Ἀθανάσιος, Εὐστάθιος Ἀντιοχείας, Θεόδωρος Ἡρακλείας, Εὐσέβιος Ἐμεσσηνός, Τριφυλλῖνος Κύπρου, Σεραπίων Θμούεως ἐπίσκοπος ἐν Αἰγύπτῳ καὶ ἐπώνυμον σχολαστικός, Κύριλλος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, Δίδυμος Ἀλεξανδρεύς, Ἐπιφάνιος ἐπίσκοπος Σαλαμίνης τῆς ἐν Κύπρῳ, Γρηγόριος Ναζιανζηνός, Βασίλειος Καισαρείας, Ἐφραὶμ ὁ Σύρος τῆς Ἐδεσσηνῶν Ἐκκλησίας διάκονος, Διόδωρος Ταρσοῦ, Γρηγόριος ὁ Νύσσης, Εὐάγριος, Μάξιμος φιλόσοφος Ἀλεξανδρεύς, Ἰωάννης Ἱεροσολύμων, Θεόφιλος Ἀλεξανδρείας, Φίλων Καρπάθου, χειροτονηθεὶς ὑπὸ τοῦ ἁγίου Ἐπιφανίου, Γελάσιος Καισαρείας τῆς Παλαιστίνης, Ἀμφιλόχιος Ἰκονίου, Εὐσέβιος Παμφίλου, Μάρκελλος Ἀγκύρας. Συγγραφεῖς μὲν καὶ ἄλλοι ὑπῆρξαν, οὗτοι δ' εἰσὶν οἱ ἐπιστημότεροι· Ἀστέριος σοφιστής, Ἀπολλινάριος Λαοδικεύς, Ἀέτιος σοφιστής, Εὐζώϊος Καισαρείας τῆς Παλαιστίνης, Βασίλειος Ἀγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χώρας, Εὐνόμιος Κυζίκου, Ἀκάκιος Καισαρείας τῆς Παλαιστίνης, Λούκιος ἀρειανός, ὧν ἐν τῷ περὶ ἐκκλησιαστικῶν, ὡς εἴρηται, συγγραφέων μνείαν μακρότερον ποιησόμεθα.

*Περὶ τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης φροντιστηρίου.*

Καισάρεια πόλις τῆς Παλαιστίνης παρὰ τὴν θάλατταν ἐπιφανής, οἳ τὸν πύργον τοῦ Στράτωνος διαμνημονεύουσι. Ταύτην τὴν πόλιν Ἡρώδης ὁ Ἀσκαλωνίτης ἀναστήσας, περιφανέσιν οἰκοδομαῖς κατηγλαϊκὼς φαίνεται, αἷς περικαλλῆ τινα καὶ εὔορμον λιμένα προσεπιμετρήσας, λίαν ἐράσμιον τὴν πόλιν τοῖς ἀφικνουμένοις ἀπεφήνατο, ἣν Αὐγούστῳ τῷ Καίσαρι ἀναθείς, Καισάρειαν τὴν πόλιν προσηγόρευσε. Τῶν δὲ Ἱεροσολύμων ὑπὸ Τίτου καταστραφέντων καὶ παντελεῖ φθορᾷ παραδοθέντων, τὸ ἐκκλησιαστικὸν τὴν Καισάρειαν ἀξίᾳ μητροπόλεως κοσμήσαντες, καὶ προνομίοις ὀχυρώσαντες προὔχουσι ἐκεῖσε σφᾶς μετέστησαν· ἐξ οὗ δῆτα γυμνασίων καὶ μαθημάτων κλέει τὴν ὑφ' ἥλιον κατεπέπληχε, μήτηρ σχεδὸν εὐσεβείας καὶ σοφίας ἀναδεδειγμένη μητρόπολις, ἧπερ ἡ ἑῴα νεότης προσφοιτῶσα, τὸν ῥήτορα εὐσεβῶς λόγον ἐξεπονοῦντο. Οὗ Ὠριγένην φροντιστήριον ἱερὸν πρῶτον δημοσίᾳ τοῖς βουλομένοις ὑπανοῖξαι ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ διατρανοῖ ὁ Εὐσέβιος. Γενέσθαι δ' ἐν Καισαρείᾳ πρῶτον τῶν ἐπιφανῶν Γρηγόριον τὸν θαυματουργόν, Θεόδωρον τέως καλούμενον, ἅμα Ἀθηνοδώρῳ τῷ ἀδελφῷ, μετὰ τὴν τῶν ἐν Καππαδοκίᾳ καὶ Βηρυττῷ γυμνασίων περίοδον, ὁ θεῖος ἱστορεῖ Ἱερώνυμος παιδείας ἑλληνικῆς καὶ ρωμαϊκῆς μεθέξοντας, οὓς μετ' οὐ πολὺν χρόνον, ὁ τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως ὑπερβὰς Ὠριγένης, τὴν ἀληθῆ τελεῖ φιλοσοφίαν, καὶ εἰς τὴν Χριστοῦ πίστιν παρεμπορεύεται. Μετ' ἐκεῖνον δ' ἡ τῆς θεολογίας ἀσύμβλητος ἀκτὶς Γρηγόριος ἔρωτι ῥητορικῆς παρ' αὐτῇ καταλύει τῇ πόλει, ὅπερ αὐτὸς περὶ ἑαυτοῦ διέξεισιν οὑτωσίν· ἐγὼ τοῖς κατὰ Παλαιστίνην ἐγκαταμείνας παιδευτηρίοις τότε κατὰ ῥητορικῆς ἔρωτα καὶ οἱ τῷ ἀτρήτῳ καὶ ἀφειδεῖ πάντῃ τῶν πόνων, ἀμφιδέξιος ἀποδέδηκα ῥήτωρ, καὶ εἰς τοὺς σοφιστικοὺς χρόνους ἀνείληπται, ὃν ἅμα Εὐζωΐῳ, νέῳ κομιδῇ ὄντι, θεσπεσίου ῥήτορος ἐν Καισαρείᾳ ἐπισήμου ἀκοῦσαι παρειλήφαμεν. Εἶθ' ἡ τῆς νοερᾶς φύσεως ἀπορρὼξ Βασίλειος, παραπλησίῳ ἔρωτι παραταθεὶς ἐς τὴν αὐτὴν ξενίζεται πόλιν, καὶ τῶν ὁμοίων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεταλαμβάνει μαθημάτων, οὗπερ ὁ Ναζιανζηνὸς οὑτωσὶ διαμέμνηται. Ἔδει δ' αὐτὸν μηδὲν τῶν καλῶν διαφυγεῖν, μηδὲ τῷ φιλοπόνῳ τῆς μελίσσης ἀπολειφθῆναι, συλλεγούσης ἐκ παντὸς ἄνθους τὰ χρησιμώτατα, ἐπὶ τῶν Καισαρέων πόλιν ἐπείγεται, τῶν τῇδε μεθέξων παιδευτηρίων, ταύτην δὲ λέγω τὴν περιφανῆ τε καὶ ἡμετέραν, ἐπεὶ καὶ τῶν ἐμῶν λόγων αὐτὴ καθηγεμών, καὶ διδάσκαλος, τὴν οὐχ ἧττον λέγων μητρόπολιν, ἡ τῶν πόλεων, ὧν ὑπέρκειται, καὶ καθ' ὧν ἔχει δυναστείαν, ἣν εἴτις τοῦ ἐν λόγοις κράτους ἀποστερήσειεν, ἀφῃρηκὼς ἔσται αὐτὸ τὸ κάλλιστόν τε καὶ εἰδικώτατον. Οὐκ ὀλίγοι δὲ καὶ ἕτεροι τῶν ἡμετέρων παραγενέσθαι παιδείας χάριν ἐν Καισαρείᾳ διαμνημονεύονται, περὶ ὧν ἐν ἄλλοις ἐροῦμεν.

## *Περὶ τῶν ἐν Καισαρείᾳ βιβλιοθηκῶν.*

Τὰς κατ' ἐκεῖνου καιροῦ φροντιστηρίων βιβλιοθήκας εἰ τῇ παρούσῃ συνόψει παρενείραιμεν, οὐκ ὀχληρὸν δόξαι, οὐδὲ παρὰ χορδὴν, φασιν, ἡγούμεθα. Βιβλιοθήκας τοίνυν οὐ μάλα εὐαρίθμους ἡ πόλις αὕτη ηὔχει· πάντων μέντοι πρωτεύουσα μακρῷ βίβλων τε πλήθει, καὶ ἀξιότητι ἐτύγχανεν ἡ μέχρι τῶν Ἱερωνύμου χρόνων διαρκέσασα, ἧς κατῆρξε μὲν Ὠριγένης, περικαλλῆ δὲ καὶ ἀπαράμιλλον σχεδὸν ὁ τῆς ὁσίας μνήμης Πάμφιλος, οὐχ ὁ τυχὼν ἀτεχνῶς ἀνὴρ, καὶ μαρτυρίῳ τὸν βίον διεξελθὼν, συλλογῇ παντοδαπῶν καὶ χρησίμων βιβλίων, καὶ μάλιστα τῶν Ὠριγένους ἀπεφήνατο· περὶ οὗ Ἱερώνυμος, οὕτω φησιν, τῆς θείας τῷ ὄντι βιβλιοθήκης ἐξῆπται τῷ ἔρωτι (ὁ Πάμφιλος) ὡς τὰ πλείω τῶν Ὠριγένους συγγραμμάτων οἰκείαις μεταγράψαι χερσίν, ἅπερ εἰς τόδ' ἐν τῇ ἑαυτοῦ κεῖται βιβλιοθήκῃ. Τῶν δυοκαίδεκα μέντοι προφητῶν τὰ ὑπομνήματα χεὶρ ἐστιν Ὠριγένους, ἃ τοσαύτῃ περιπτύσσομαι ἡδονῇ, καὶ φυλάττω, ὥστε με νομίζειν ἔχειν τοὺς Κροίσου θησαυροὺς, ἥπερ ἔπειτα ἐς Εὐσέβιον Καισαρείας περιελήλυθεν, ᾧ τῇ πρὸς τὸν Πάμφιλον ἀκραιφνεῖ συνηθείᾳ οὐδ' ἀπηξιωτέα ἡ τοῦ Παμφίλου ἔδοξε προσηγορία. Οὗ ἐν πλουσίᾳ τῇ πολιᾷ καταλύσαντος, Εὐζώϊος (ὃν ἀνωτέρω συμφοιτῆσαι τῷ Ναζιανζηνῷ τὰ εἰς ρητορικὴν εἰρήκαμεν) τὴν ἐκκλησίαν μετὰ τῆς βιβλιοθήκης διαδέχεται, ἣν ὑπὸ σητῶν σχεδὸν βεβρωμένην καὶ ἐξίτηλον γενομένην, προθυμίᾳ λιπαρᾷ καὶ φροντίδι δὲ χρησάμενος ἐν μεμβράναις ἀναλαμβάνει. Ἐν τῇ Αἰλίᾳ δὲ ἡ Ἱε-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ροσολύμοις ἑτέραν εἶναι βιβλιοθήκην ἀνεγνώκαμεν, ἣν Ἀλέξανδρος Ἱεροσολύμων (ὃς τὸν Ὠριγένην εἰς τὸν βαθμὸν ἀνήνεγκε τοῦ πρεσβυτέρου) χρημάτων καὶ πόνων ἀφειδὴς γενόμενος ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης πλείστας συναγηοχὼς βίβλους συγκεκρότηκεν. ὅθεν τὰς πλείους ἐν τῇ οἰκείᾳ βιβλιοθήκῃ μετενεγκεῖν ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ μακρότερον διέξεισιν ὁ Εὐσέβιος.

### *Περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ φροντιστηρίου.*

Περὶ τῆς Ἀλεξανδρέων ὅπως θέσεως ἔχει μεγέθους τε καὶ κάλλους ἐν τῷ παρόντι διαλαβεῖν. περιττὸν εἶναι παντάπασί μοι δοκεῖ, ἅτε τῶν ταύτης ἡμμένων τῆς φροντίδος πολλῶν ὄντων, καὶ τρανώτερον τὰ κατ' αὐτὴν διεξεληλυθότων, ἄλλως τε καὶ παρὰ μέλος, τοῦτο δὴ τοῦ λόγου, νομισθείη, οὐ γὰρ γενικὴν τῆς πόλεως ἱστορίαν, ἀλλ' ἐπιπόλαιον τῶν γυμνασίων ἀφήγησιν ἐνεστησάμεθα. Τοσοῦτον δ' ἐν τῷ παρόντι εἰπεῖν ἀποχρήσει, ὡς παρ' Ἀλεξάνδρου τοῦ ταύτην ἀναστήσαντος, οἰκοδομαῖς καὶ καλλωπίσμασιν οὕτω καταπεπλούτισται, ὥστ' ἐν ταῖς ἱστορίαις ἤδη τῆς ὑφ' ἡλίῳ ἀναρρηθῆναι θέατρον, ἣν γυμνασίων καὶ μαθημάτων εὖ ἤκουσαν, καὶ σοφῶν ἀνδρῶν θιάσοις μάλα διαπρέπουσαν καὶ θρόνον ἀνειπεῖν σοφίας οὐκ ἀπεικὴς εἶναι ἔδοξε. Ῥητορικῆς τοίνυν παλαίστρας καὶ θεολογίας γυμνασίοις οὐκ ὀλίγοις ἡ πόλις αὕτη ἐτύγχανε περιλάλητος, τουτοισὶ οὐχ ἧττον ἢ τοῖς λοιποῖς πομπεύουσα ὡραΐσμασιν. Ἀνθ' ὧν ἑῴων τε καὶ ἑσπερίων οἱ παῖδες ἀμέσως ἀπὸ Καισαρείας ἐς αὐτὴν καταλύοντες, καὶ ἐφ' ἱκανὸν τοῖς ἐνταῦθα σοφοῖς ὁμιλοῦντες Ἀριστοτέλεις, ἵν' οὕτως εἴπω, καὶ Δημοσθένεις εἰς τὰ σφέτερα ἀνεκομίζοντο· ἐξ οὗ δὴ τοῦ εὐαγγελίου σάλπιγξ, Μᾶρκος ὁ ἀπόστολος, τῆς Ἀλεξάνδρου ἐπέβη, τοῖς εὐαγγελικοῖς ῥείθροις τὴν πόλιν καταρδευσόμενος, ἱερῶν φροντιστηρίων ἐπιμέλειαν πεποιηκώς, οὐ μόνον ἐπιφανεῖς φιλόσοφοι, ἀλλὰ Γρηγόριοι σχεδόν, καὶ Βασίλειοι, οἴκαδε τὸ φοιτᾶν ἐπανέλυον· καθηγεμόνες καὶ γὰρ ἐν τούτοις διέπρεπον τῶν λογάδων, ὧν πρωτεύειν Πάνταιον διὰ πολλῶν ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ παραδίδωσιν ὁ Εὐσέβιος. Πανταίνου δ' ἀμέλει τὸν Ἀλεξανδρέα Κλήμεντα ἀκροατήν τε καὶ διάδοχον ἐπιφανῆ γενέσθαι φησὶν Ἱερώνυμος, ᾧτινι ὁμιλῆσαι καὶ διαδέξασθαι τὸ ἀπήχημα τῆς θείας φύσεως Ὠριγένην, οὔπω δέκατον ὄγδοον ἄγοντα ἔτος, ἐστὶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναμφίλεκτον, ὃς τῷ μεγαλοφυεῖ τῆς διδασκαλίας καὶ ἀνυπερβλήτῳ τῶν λόγων τοὺς τῶν ἑῴων καὶ ἑσπερίων σοφοὺς ἐκθαμβήσας, πρὸς τὴν τῶν οἰκείων λόγων ἀκρόασιν ἐπεσπάσατο, οὗ Ἡρακλῆς, κἀκείνου Διονύσιος ἀκροαταί, ἄνδρες ἀτεχνῶς ἐπὶ σοφίᾳ τῶν εὐδοκίμων. Τῆς οὖν Ἀλεξανδρέων τὸ κλέος διὰ τὸ περιὸν τῆς σοφίας ἐς τὰ τῆς οἰκουμένης εἰπεῖν ἔσχατα διαρρυέν, κἀπὶ τῇ τῶν ἀστέρων θεωρίᾳ οὐ μεῖον διαθρυλλούμενον, τὴν σωτήριον τῆς ἀναστάσεως τελετὴν (ἥπερ ἐκ τῆς τῶν ἀστέρων ἅπασα ἤρτηται ἐπιστήμης) τοῖς τῶν Ἀλεξανδρέων ἐπισκόποις ὁρίσαι, καὶ πάσῃ διασημᾶναι τῇ Ἐκκλησίᾳ τὸν θεῖον τῶν ἐν Νικαίᾳ πατέρων σύλλογον ἐπιτρέψαι ἀναπέπεικε. Τῶν δὲ θύραθεν μαθημάτων οὐκ ὀλίγους καθηγητὰς αἱ ἱστορίαι διαμνημονεύουσιν. ὧν Ἀμμώνιος ἦν τὴν Πλάτωνος φιλοσοφίαν δημοσίᾳ ἐπαγγελλόμενος, ἀνὴρ τῷ ὄντι μακρῷ πρωτεύων, κατὰ τὸν Νυσσαέων φωστῆρα, καὶ ἐπὶ σοφίᾳ διαφανέστατος Πλωτῖνος ὁ θεῖος τῶν Πλάτωνος δογμάτων καθηγεμών, καὶ ζηλωτὴς ἀκίβδηλος, ὁ λαμπρὸς ἐν φιλοσοφίᾳ ἅγιος Ἀνατόλιος ἐν τῇ Ἀλεξάνδρου τὴν Ἀριστοτέλους φιλοσοφίαν δημοσίᾳ ὑπεξηγούμενος, οἷς προσεπιμετρεῖ Πιέριον Ἱερώνυμος καὶ ἑτέρους ὅ,τι πλείστους ἐν φιλοσοφίᾳ διαφέροντας, οἷς Γρηγόριον τὸν Θεολόγον, καὶ τὸν ὁμαίμονα Καισάρειον παρειληφότες ἐσμέν, ὁμιλῆσαι καὶ ἐπὶ μακρὸν ξυγγενέσθαι. Εἰ δὲ τῷ φίλον καὶ τὸν ὄλεθρον τῆς εὐσεβείας Ἄρειον καὶ Ἀέτιον τοῖς προληφθεῖσι προσαριθμήσασθαι οὐ διαψεύσεται πάντως τὴν ἀλήθειαν.

### *Περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν.*

Πολλῶν καὶ ταύτην τὴν πόλιν βιβλιοθηκῶν εὐμοιρῆσαι παρελάβομεν, ἃς ὁ πανδαμάτωρ χρόνος παντελεῖ παραδοὺς ὀλέθρῳ, τοῖς ἐπιγενομένοις νέας συλλογῆς βίβλων φροντίδα ἐνεῖναι πιστεύεται, ἐν αἷς ἡ Γεωργίου (ὃς μετὰ τὴν φυγὴν Ἀθανασίου τοῦ μεγάλου τὴν Ἐκκλησίαν ἥρπασε) διὰ παντὸς ἄγεται στόματος· καίτοι γὰρ τούτῳ ἐσχάτης ἀμαθείας ὄντι, ἀλφαβήτῳ τῷ τοῦ λόγου, περιφανῆ μέντοι συναγεῖραι βιβλιοθήκην διὰ σπουδῆς ἐγένετο· οὗ τέως τῶν πηδαλίων τῆς Ἐκκλησίας, ὡς λύκου τῇ ποίμνῃ εἰσπηδήσαντος ἄλλοθεν ἀπελαθέντος φθονήσας Ἀλεξανδρεῦσι τῆς βιβλιοθήκης Ἰουλιανὸς ὁ παραβάτης, τήνδε τὴν ἐπιστολὴν πρὸς Ἐκδίκιον ἵππαρχον Αἰγύπτου ὑπηγόρευσεν· «ἄλλοι μὲν ἵππων, ἄλλοι δὲ ὀρνέων, ἄλλοι θηρίων



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐρῶσιν, ἐμοὶ δὲ βιβλίων κτήσεως ἐκ παιδαρίου δεινὸς ἐντέτηκε πόθος. Ἄτοπον οὖν εἰ ταῦτα περιίδοιμι σφετερισαμένους ἀνθρώπους, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον ἀναπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου, πρὸς δὲ καὶ ταῦτα ὁ ὑφαιρεῖσθαι ῥαδίως ὑποδιανοούμενος. Ταύτην οὖν μοι ἰδιωτικὴν δὸς χάριν, ὅπως ἂν εὑρεθείη πάντα τὰ Γεωργίου βιβλία· πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ, πολλὰ δὲ ῥητορικά, πολλὰ δὲ ἦν καὶ τῆς τῶν Γαλιλαίων διδασκαλίας, ἃ βουλοίμην μὲν ἠφανίσθαι πάντη, τῷ δὲ μὴ σὺν τούτοις ἀφαιρεθῆναι τὰ χρησιμώτερα, ζητείσθω κἀκεῖνα μετ' ἀκριβείας ἅπαντα. Ἡγεμὼν δὲ τῆς ζητήσεως ἔστω σοι ταύτης ὁ νοτάριος Γεωργίου, ὃς μετὰ πίστεως ἀνιχνεύσας αὐτά, γέρας ἴστω τευξόμενος ἐλευθερίας. Εἰ δ' ἄλλως γένοιτο κακοῦργος περὶ τὸ πρᾶγμα, βασάνων ἐς πεῖραν ἥξων· μετέδωκε γάρ μοι περὶ τὴν Καππαδοκίαν ὄντι πρὸς μεταγραφήν τινα καὶ ταῦτα ἔλαβε πάλιν

Καὶ ἐν ἄλλοις οὑτωσὶ πρός τινα Πορφύριον γράφει· πολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη Γεωργίου, παντοδαπῶν μὲν φιλοσόφων, πολλῶν δ' ὑπομνηματογράφων, οὐκ ἐλάχιστα δ' ἐν αὐτοῖς καὶ τὰ τῶν Γαλιλαίων, πολλὰ καὶ παντοδαπὰ βιβλία· πᾶσαν οὖν ἀθρόως τὴν βιβλιοθήκην ἀναζητήσας φρόντισον εἰς Ἀντιόχειαν ἀποστεῖλαι, γινώσκων ὅτι μεγίστη δὴ καὶ αὐτὸς περιβληθήσῃ ζημίᾳ εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσειας, καὶ τοὺς ὁπωσοῦν ὑπονοίας ἔχοντας ὑφῃρῆσθαι τῶν βίβλων, πᾶσι μὲν ἐλέγχοις, παντοδαποῖς δ' ὅρκοις, πλείονι δὲ τῶν οἰκετῶν βασάνῳ πείθειν δύναιο. Μεμνήμεθα δ' ἀνεγνωκότες καὶ ἑτέρας τῆς πόλεως βιβλιοθήκας οὐκ' εὐαρίθμους, τῷ μὴ μέντοι ἀκριβῶς ἀκμὴν τῇ μνήμῃ περιφέρειν τίνος ποθ' ἦσαν, ἢ ἐς τίνα περιεληλύθασι σιωπῆς ἀκίνδυνον γέρας, ὅ φασιν, ἐν τῷ παρόντι εἰλόμεθα, ἐν ἄλλοις τὴν περὶ τούτων ἀκραιφνῆ ἀφήγησιν ἀποταμιευσάμενοι.

### *Περὶ τῶν ἐν Κωνσταντινουπόλει φροντιστηρίων*

Τῇ Βύζαντος πόλει (ἦν δὲ τὸ πάλαι κώμη Θρᾴκης) οὐ τοσαύτην αἱ ἱστορίαι σοφίαν προσμαρτυροῦσιν, ὅσην δήπου ἐξ οὗπερ ὁ ἰσαπόστολος Κωνσταντῖνος τὴν νέαν Ρώμην διαπρεπῶς λίαν ἀναστήσας ἐς αὐτὴν τὰ τῆς ἀνάκτορος ἀρχῆς σκῆπτρα μετήνεγκεν. Ἔδει γὰρ τὴν οὕτω περικαλλῆ καὶ περιλάλητον πόλιν, ὥσπερ κάλλους μηδὲ το-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φίας ἀπολελεῖφθαι, ἥτις ἐστὶ τῶν ἐν τῷ μετὰ σώματος βίῳ τὸ θειότατον, ἀλλ' ἔδαφος λόγων, καὶ νεώτερόν τινα μουσῶν Ἑλικῶνα, ὀφθῆναι, τοῖς προσιοῦσι φιλοφρόνως νάματα φιλοσοφίας ἐπιδαψιλευόμενον· ἀνθ' ὧν τῷ εὐσεβεῖ τε καὶ θείῳ τούτῳ ἄνακτι, λιπαρεῖ προθυμίᾳ, καὶ βασιλείῳ εἰπεῖν ψυχῇ, παντοδαπῆς ἐπιστήμης γυμνάσια περιβαλέσθαι, καὶ τοὺς κατὰ πᾶσαν παιδείαν ἐμπειροτάτους καὶ ἐντριβεῖς ἐν τοῖς μάλιστα μεταστείλασθαι πάνυ τοι ἐμέλησεν. Ἦν ἰδεῖν τοίνυν τὴν Κωνσταντίνου τηνικαῦτα ἐπὶ τοῖς Σωκράτους μεγαλοφρονοῦσαν λυκείοις τε καὶ τὰς θρυλουμένας Πλάτωνος καὶ Ἀριστοτέλους ἀκαδημίας ἠχοῦσαν καὶ Ἀθηνῶν φασιν αὐτῶν πνέουσαν, καὶ ἀττικὸν κάλλος τοῖς θαμίζουσιν περιττῶς ἐντιθεμένην, ἀφ' ὧν ἐς τὰ τῆς θεολογίας ἄδυτα προπεμπόμενοι, τὰ τῆς ἱερᾶς τῷ ὄντι φιλοσοφίας ἐλευσίνια μυστήρια ἐτελοῦντο· παντοδαπῶν καὶ γὰρ μαθημάτων ἐπλούτει ἡ πόλις αὕτη, καὶ ἐπιστημῶν ἱεροτέρων μήτηρ ἐτύγχανεν· ἦν τρίτον οἱ τῆς σοφίας ἐρασταὶ ἐποιοῦντο τῆς περιόδου κατάλυμα, ἐς αὐτὴν ἀπὸ Καισαρείας καὶ Ἀλεξανδρείας ἀμέσως ἐφησυχάζοντες· οὓς ἀφικνουμένους πεῖράν τε, ᾗ ἕκαστος ἔχει δυνάμεως, δεδωκότας παρ' αὐτοῖς κατεῖχον οἱ τοῦ καλοῦ αὐτόφυλον ἔχοντες ἔρωτα, καὶ εὐσεβείας τρόφιμοι αὐτοκράτορες τιμῶν τῶν ἄνω τούτους δηλονότι ἀξιούμενοι. Καὶ παρίτω μοι τῷ λόγῳ ὁ ἐπὶ παντοδαπῇ σοφίᾳ τὰ πρῶτα ἀπενεγκάμενος Καισάριος, τῶν τοῦ Ναζιανζηνοῦ ὁμαιμόνων ὁ ἐρασμιώτατρς, ὃν ἐκ τῆς Ἀλεξάνδρου τῇ Βυζαντίων, τελεωτέρας μεθέξοντα παιδείας ἐπιδημήσαντα, προσφιλεῖ ὀφθῆναι τῇ ἁλουργίδι, καὶ τιμῶν ἠξιῶσθαι τῶν ἄνω αἱ ἱστορίαι ἡμῖν διετράνωσαν. Βασίλειος δ' οὐρανοφάντωρ μετὰ τὰς μακρὰς ἐκείνας καὶ ἐπιπόνους ἐν τοῖς λοιποῖς φροντιστηρίοις διατριβάς, ἐν ταύτῃ μὲν ξενίζεται, καὶ παραμείνας ἐκβιάζεται, οὐκ ἀνέχεται δ' ἐς τέλος, ἀλλὰ σπουδαίως μετεσχηκώς, ὧν ἐγλίχετο μαθημάτων, τῶν Ἀθηνῶν οὐκ ὀλίγωρος γίγνεται· ὃ τούτοις τοῖς ῥήμασι διαβεβαιοῖ ὁ Θεολόγος Γρηγόριος.

«Ἐντεῦθεν ἐπὶ τὸ Βυζάντιον τὴν προκαθημένην τῆς ἑῴας πόλιν, καὶ γὰρ ηὐδοκίμει σοφιστῶν τε, καὶ φιλοσόφων τοῖς τελεωτάτοις, ὧν ἐν βραχεῖ χρόνῳ τὰ κράτιστα συνελέξατο τάχει τε καὶ μεγέθει φύσεως· ἐντεῦθεν ἐπὶ τὸ τῶν λόγων ἔδαφος τὰς Ἀθήνας ὑπὸ τοῦ Θεοῦ πέμπεται καὶ τῆς καλῆς περὶ τὴν παίδευσιν ἀπληστίας».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐν Κωνσταντινουπόλει τοίνυν, ὡς εἴρηται, περιώνυμα καὶ διαβόητα ἦν γυμνάσια, ἃ μέχρι τῶν χρόνων Λέοντος τοῦ Ἰσαύρου διήρκησεν, ὅς ἀρρήτοις κρίμασι, κατεληλυθότων ἐς αὐτὸν τῶν στεμμάτων, τὸ ἐπιφανέστερον τῶν φροντιστηρίων δυσσεβείᾳ οἰστρηλαθεὶς αὐτοῖς παιδεύουσι, παιδευομένοις, καὶ βίβλοις τῷ Ἡφαίστῳ (φεῦ ἀθεμίτως λίαν καὶ ἀπηνῶς παραδέδωκε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## *Περὶ τῶν ἐν Κωνσταντινουπόλει βιβλιοθηκῶν.*

Ὥσπερ δὲ μεγέθει καὶ κάλλει ἡ Κωνσταντίνου τῶν λοιπῶν ἐκράτει πόλεων, οὕτω δήπου κἂν ταῖς βιβλιοθήκαις μακρῷ τῶν εἰρημένων ἦν διάφορος· τῷ γὰρ ὑπὲρ ἀριθμὸν σχεδὸν εἶναι τὸ δοκίμιον καὶ ἀνακεχωρηκὸς τῶν βίβλων προσῆν· ἐν αἷς τρεῖς ταύτας αἱ ἱστορίαι θαυμάζειν οὐ λήγουσι· πρώτη οὖν ἐτύγχανεν, ἣν ἀνωτέρω πυρὸς ποιῆσαι παρανάλωμα τὸν Ἴσαυρον εἰρήκαμεν· δευτέρα δὲ ἡ Βασιλίσκου τοῦ αὐτοκράτορος αἰφνιδίῳ κἀκείνη καὶ ἀνηλεεῖ πυρὶ ἐπινεμηθεῖσα, ἧς κατάρξαι Κωνσταντῖνον τὸ τῆς εὐσεβείας διάδημα, σπουδῇ δὲ καὶ δαπάνῃ τῶν ἐκείνου διαδόχων ἐς θαυμαστήν τινα τελειότητα προσεληλυθέναι λόγος, εἴκοσι γὰρ πρὸς τὰς ἑκατὸν χιλιάδας βίβλους πλουτῆσαι ἡ βυζαντὶς ἱστορία παραδίδωσι· τρίτην δ' ὑπομιμνήσκει βιβλιοθήκην ὁ Ζώσιμος τοῖς ἀνακτόροις προσεῖναι τῆς πόλεως, ᾗ φροντίδα ὅ,τι πλείστην ὁ ἀποστάτης εἰσενηνοχὼς Ἰουλιανὸς παντοδαπῶν βίβλων θημῶνας ἐν αὐτῇ συνείλοχε, καὶ μάλιστα τῶν χρησίμων καὶ περιμαχήτων, ἀλλὰ καὶ περὶ τούτων τοσαῦτα εἰρήσθω.

## *Περὶ τῶν ἐν Ἀθήναις φροντιστηρίων.*

Διειληφόσιν ἐς τόδε περὶ τῶν λοιπῶν ἑῴων γυμνασίων ὅπως τ' εἶχε τάξεως, καὶ μαθημάτων ὑποσημηναμένοις, ἐπὶ τὰς κλεινὰς τῶν Ἀθηναίων ἀκαδημίας μεταβατέον, καίτοι καὶ τοῦτο οὐκ ἔστιν, ᾧτινι οὐ διὰ φροντίδος ἐγένετο· καὶ γὰρ παλαιῶν τε καὶ νεωτέρων συγγράμματα τῶν ταύτης διηγημάτων εἰσὶν ἀνάπλεω, κόσμον τῶν σφετέρων ἡγουμένων συγγραμάτων τὸ Ἀθηνῶν μεμνῆσθαι καὶ δι' εὐφήμου ἀγαγεῖν γλώττης τὰ ἐκείνης πλεονεκτήματα.

Ἀνθ' ὅτου καὶ ἡμῖν τὴν περὶ τούτων ἀκριβῆ παραδραμοῦσι φροντίδα, διὰ τῶν καιριωτέρων ἐν βραχεῖ ἀφοσιωτέον τὴν ἀφήγησιν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οὐχ ὥσπερ τοίνυν τὰ λοιπὰ τῶν γυμνασίων, καὶ τὰς Ἀθήνας ἔχειν ὑποληπτέον, ἀλλ' ὅσωπερ ὅρασιν τῶν λοιπῶν πλεονεκτοῦσαν αἰσθήσεων γινώσκομεν, τοσούτῳ δήπου τῶν ἄλλων τὰ ἐν Ἀθήναις γυμνάσια διαφέρειν νομίσαντες, οὐ διαψευσόμεθα τὴν ἀλήθειαν· ἣν ποριστέαν εἶναι ἐκ τῶν ἱστοριῶν ἐγνωκότες, ὑμῖν ἀκιδδήλως προτιθέαμεν. Ταύτῃ τοι καὶ οἱ ἐν τῇ λοιπῇ ἑῴᾳ ἐπιτετραμμένοι φροντιστήρια, σφετέραν ἡγοῦντο καλλονὴν τὸ Ἀθηνῶν ἐπιδῆναι, καὶ τοῖς σοφοῖς ἐκείνων ὁμιλῆσαι. Εἰ δὲ τῷ ὀλιγώρῳ ξυμβαίη τῶν Ἀθηνῶν γενέσθαι, οὗτος δήπου καὶ τῶν τῆς παιδείας γερῶν ἀπετύγχανε, καὶ τοῦ πολλοῦ δήπου ἀντ' εἰδότος ἐνομίζετο, τοσοῦτον διὰ θαύματος καὶ αἰδοῦς τοῖς πάλαι ἡ κλεινὴ τῶν Ἀθηναίων διετέλει μητρόπολις, τῷ περιόντι τῆς σοφίας τὰς διανοίας τῶν ἀνθρώπων ἐκθαμβήσασα, τῷ τε μήτηρ σχεδὸν πάντων τῶν παρ' ἀνθρώποις καλῶν χρηματίσαι, τῷ μίτῳ φασί, τῆς ῥηνὸς πάντας πρὸς ἑαυτὴν ἐπέσπα καὶ ξυνεπέσπερχεν. Ἐντεῦθεν γὰρ ἦν, φησὶν ὁ τῶν ῥητόρων κορυφαῖος Κικέρων (ὃς ἤδη ἐς τοὺς ἐφήβους παραγγέλλων, Ἀθήναις ὁμιλήσας τοὺς ποταμοὺς τῆς εὐγλωττίας ἐκεῖθεν ἠρύσατο) παιδεία, εὐσέβεια, χρηστότης, δίκαι, νόμοι, καὶ πᾶν εἴτι καλὸν προκέκυφεν, ἅπερ, τόγ' ἐμόν, τῆς εὐφυΐας οὐχ ἧττον τῆς πόλεως, ἢ τῆς τῶν οἰκούντων ἡγητέον δεξιότητος ἀποτελέσματα· τῷ γὰρ εὐκράτῳ τοῦ περιέχοντος εὔφορον νέων ἐπιστήμων τὴν πόλιν εἶναι ξυμβαίνειν, ἐν ἀναμφιλέκτοις ἐστί. Τὰ Ἀθήνησι τοιγαροῦν φροντιστήρια κρείττω σχεδὸν ἦν ἀριθμοῦ σοφίας τε τρόφιμοι οὐκ εὐάριθμοι ἐν ταύταις διέπρεπον, οἷς ἐξ ἁπάντων τῶν τῆς οἰκουμένης μερῶν οἱ τέως μικροῦ δεῖν κατὰ παιδείαν ἐντελῶς ἔχοντες ξυγγιγνόμενοι, τὴν ἐσχάτην χεῖρα, ὥσπερ, οἱ ζωγράφοι τοῖς πίναξι τῇ σφῶν ἐπιθέντες φιλοσοφίᾳ, τὴν καθ' αὑτὸν ἐλᾶν ἕκαστος, τὸ τοῦ λόγου, ἠπείγετο. Οὐ μικρὸς δ' ἀνὰ τὰς ἐπισημοτέρας αἱρέσεις ἀριθμὸς ἀκροατῶν ὑπάρχων, ἐπισπάσαι πρὸς ἑαυτοὺς ἕκαστοι τοὺς παραγιγνομένους μυρίοις ἐφιλονείκουν τρόποις, ἀνθ' ὅτου, κατὰ τὸν Θεολόγον, προκατελαμβάνοντο πόλεις, ὁδοί, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαί, οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικῆς μέρος, ἢ τῆς λοιπῆς Ἑλλάδος; οὓς οὐ πρότερον τῆς σφῶν ἐποιοῦντο συμμορίας, ἢ παιδιᾷ τινι πομπικῇ τε ἅμα καὶ γλαφυρᾷ διαπαίξαντες, ἣν ὁ ἐκ Ναζιανζοῦ φωστὴρ οἷόν τι ἥδυσμα τῶν οἰκείων λόγων ποιούμενος περιττῶς λίαν διεσκευάσατο. Φησὶν οὖν, ἐπειδάν τις ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στῇ τῶν νέων, καὶ ἐν χερσὶ γένηται τῶν ἐχόντων, γίνεται δὲ ἢ βιασθεὶς ἢ ἑκών, νόμος οὗτός ἐστιν αὐτοῖς, καὶ παιδιὰ σπουδῇ σύμμικτος· πρῶτον μὲν ξεναγεῖται παρά τινι τῶν προειληφότων, ἢ φίλων ἢ συγγενῶν, ἢ τῶν ἐκ τῆς πατρίδος, ἢ τῶν ὅσοι περιττοὶ τὰ σοφιστικά, καὶ προσαγωγοὶ τῶν λημμάτων, κἀντεῦθεν μάλιστα διὰ τιμῆς ἐκείνους, ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τὸ σπουδαστῶν τυγχάνειν, ἔπειτα ἐρεσχηλεῖται παρὰ τοῦ βουλομένου παντός. Βούλεται δ' αὐτοῖς οἶμαι, τοῦτο τῶν νεηλύδων συστέλειν τὸ φρόνημα, καὶ ὑπὸ χεῖρα σφῶν ἀπ' ἀρχῆς ἄγειν.

Ἐρεσχηλεῖται δὲ παρὰ μὲν τῶν, θρασύτερον, παρὰ δὲ τῶν λογικώτερον, ὅπως ἂν ἀγροικίας, ἢ ἀστειότητος ἔχῃ, καὶ τὸ πρᾶγμα τοῖς μὲν ἀγνοοῦσι λίαν φοβερόν, καὶ ἀνήμερον, τοῖς δὲ προειδόσι, καὶ μάλιστα ἡδύ, καὶ φιλάνθρωπον· πλείων γάρ ἐστιν ἡ ἔνδειξις. ἢ τὸ ἔργον τῶν ἀπειλουμένων. Ἔπειτα πομπεύει διὰ τῆς ἀγορᾶς ἐπὶ τὸ λουτρὸν προαγόμενος· ἡ πομπὴ δὲ διατάξαντες ἑαυτοὺς στοιχηδὸν κατὰ συζυγίαν ἐκ διαστήματος οἱ τελοῦντες τῷ νέῳ τὴν πρόοδον. ἐπὶ τὸ λουτρὸν προπέμπουσιν, ἐπειδὰν δὲ πλησιάζωσι, βοῇ τε πολλῇ καὶ ἐξάλμασι χρώμενοι, καθάπερ ἐνθουσιῶντες, κελεύει δὲ ἡ βοὴ μὴ προβαίνειν, ἀλλ' ἵστασθαι, καὶ ἅμα τῶν θυρῶν ἀρασσομένων, πατάγῳ τὸν νέον φοβίσαντες, εἶτα τὴν εἴσοδον συγχωρήσαντες, οὕτως ἤδη τὴν ἐλευθερίαν διδόασιν ὁμότιμον ἐκ τοῦ λουτροῦ, καὶ ὡς αὐτῶν ἕνα δεχόμενοι καὶ τοῦτό ἐστιν αὐτοῖς τῆς τελετῆς τὸ τερπνότατον, ἡ ταχίστη τῶν λυπούντων ἀπαλλαγὴ καὶ κατάλυσις. Ταύτῃ τοίνυν τῇ παιδιᾷ φρονηματωδῶς μᾶλλον ἢ σοφῶς τοῖς φοιτῶσι προσπαίζουσιν, ἥνπερ διαφυγεῖν τινα σχεδὸν τῶν ἀνεφίκτων ὑπείληπται. Βασίλειος μέντοι ὁ μέγας Ἀθήνησι γενόμενος, τῷ στασίμῳ τῶν ἠθῶν, καὶ τῷ καιρίῳ τῶν λόγων, καὶ τῇ θέᾳ μόνῃ μικροῦ δεῖν συστείλας τὸ φρόνημα τῶν παιζόντων, μόνος σχεδὸν τῶν ἐπιδημούντων τὸν κοινὸν νόμον διέφυγε, κρείττονος ἢ κατὰ νέηλυν ἀξιωθεὶς τιμῆς, ἐν ᾗ πλεῖστον ὅσον ὁ Ναζιανζηνὸς τῷ κλεινῷ Βασιλείῳ ξυνήρατο, ὃ δήπου εἰς τὴν πρὸς ἀλλήλους φιλίαν ἐφόδιον ποιησάμενοι, τὸ ὁμόστεγον, καὶ τὸ ὁμοδίαιτον ᾑρετίσαντο· οἷον ἐπὶ σοφίᾳ μέγιστον ἀπενεγκαμένοιν κλέος, ρητορικήν, καὶ φιλοσοφίαν δημοσίᾳ διδάξαι ἀμφοῖν ἐπιτετράφθαι λέγεται· ὧν' Ἀθήνησιν Ἰουλιανὸς ὁ ἀποστάτης τῆς μὲν καλῆς μετείληφε συνουσίας, καὶ τῶν κοινῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παιδικῶν τῆς φιλοσοφίας συμμετέσχεν, ἐν τοῖς κατ᾽ εὐσέβειαν μέντοι, ἀλλότριος πάντῃ ἀναδέδεικται, οὗπερ τῷ τῆς γνώμης ὑποκούφῳ καὶ τῷ τὸν ἐναντίον θαμικῶς ἐκπονεῖν λόγον, ἀψευδῆ τεκμήρια ἐκ πολλοῦ ἐξενήνοχεν. Ἐς τόδε τοιγαροῦν ἱκανῶς σχεδὸν περὶ τῶν κορυφαιοτέρων τῆς ἑῴας φροντιστηρίων ἐσμὲν διειληφότες, μηδαμῶς τῶν ἐν μέρει τῆς ἑῴας γυμνασίων ὑπομνησθέντες. ἅτε δήπου κρείττω ἀριθμοῦ ὄντων, ἄλλως τε περὶ τῶν προὐχόντων μόνον καὶ ἐπιφανεστέρων, οὐ μὴν δὲ πάντων τῆς ἑῴας εἰπεῖν ἐνεστησάμεθα. Εἰ δὲ τῷ ἐλλιπέστερον, εἰ ἔδει, εἰρηκέναι δόξαιμεν, τὰ εἰρημένα ἀπὸ μνήμης πάλαι δηλονότι ἀναγνωσθέντα, οὐ νεαρᾶς ἀναγνώσεως, εἰρῆσθαι ἐς νοῦν ἀναληπτέον.

Ἐκδέδοται ἐν Παταβίῳ. ἐν τῷ ἑλληνομουσείῳ τῆς κλεινῆς τῶν Ἑνετῶν ἀριστοκρατίας.

Ἐν ἔτει ͵αψια΄ : Ἐν Θαργηλιῶνι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006